διὰ τὸν φόβον μὴ ἡμάρτανεν, διὰ δέος ηὑρίσκετο φυλάττουσα τὸ ἀγαθόν, καὶ οὐκέτι δι' αὐτὸ τὸ καλῶς ἔχον καὶ ὡς αὐτοκίνητος· ἐπιλανθάνεται οὖν, ἵνα ζητήσῃ ὡς αὐτοκίνητος τὸ ἀγαθόν· ἐπεὶ καὶ οἰκέτας ἀγαπῶμεν καὶ πλείονος ἐσθῆτος ἀξιοῦμεν, οὐ τοὺς κατὰ φόβον δουλεύοντας ἀλλὰ τοὺς οἰκείᾳ γνώμῃ· ἰστέον οὖν, ὅτι καὶ ἐνταῦθα κολάζονται· μάλιστα δὲ ἐκεῖ δοκοῦσι καθαίρεσθαι, ἐπειδὴ ἡ ἄνευ σώματος ζωὴ μᾶλλον αὐταῖς ἐστιν οἰκειοτέρα. εἰ δέ τις εἴποι, ὅτι διὰ τί μὴ καὶ οἱ πτωχοὶ κολάζονται, οἱ προαίρεσιν ἔχοντες ἀδικῆσαι, ἀλλὰ μόνοι οἱ δυνάσται, καὶ γὰρ καὶ οἱ πτωχοί, εἰ εἶχον ὄργανα τὰ ὑπηρετοῦντα, οἷον πλοῦτον καὶ τὰ τοιαῦτα, καὶ αὐτοὶ ἂν ἡμάρτανον· φαμὲν οὖν, ὅτι καὶ αὐτοί, εἰ ἔσχον ἄδικον προαίρεσιν, κολάζονται, ἀλλὰ διάφορα τὰ μέτρα· οὐ γὰρ ὁμοίως κολασθήσεται, ὅτε μόνην προαίρεσιν ἐσχηκὼς καὶ ὁ ἐνεργήσας καὶ πράξας· λέγει τοίνυν ὁ Σωκράτης τῷ Καλλικλεῖ· ὅτι οὗτοι μῦθοι μέν λογίζονται παρά σοι, λόγοι δέ εἰσιν ἀληθεῖς· οὐδὲ γὰρ Γοργίας οὐδὲ Πῶλος οὐδέ συ οὐδὲ ἄλλος, ὅστις οὖν δύναται ταῦτα ἀνατρέψαι· εἰ οὖν κεκράτυνται ταῦτα ἐχώμεθα ὡς ἀσφαλοὺς ἀγκύρας αὐτῶν· πρόσεχε οὖν, ὦ Καλλίκλεις, μὴ ἐκεῖ τυφθήσῃ καὶ ἐπὶ κόρρης παταχθήσῃ· ταῦτα δὲ λέγει αὐτῷ, ἐπειδὴ ἀνωτέρω ἐκεῖνος τῷ Σωκράτει ἔλεγεν, ὅτι καταπαίζῃ καὶ ἐπὶ κόρρης τύπτῃ· τὸ οὖν ἐνταῦθα τυφθῆναι οὐδέν ἐστι· πῶς, ἵνα ἐκεῖ θείας λήξεως τύχωμεν.

p. 524 e. θεᾶται ἑκάστου τὴν ψυχήν.

ἀντὶ τοῦ τῷ συνειδότι προσέχει· οὐ ζητεῖ γάρ, τίς τέ ἐστιν, 5 ἀντὶ τοῦ εἰ εὐγενὴς εἰ ἀγενής, οὔτε εἰ πλούσιος, οὔτε εἰ πένης, οὔτε ἐκ ποίων, ἀντὶ τοῦ ἐξ εὐγενῶν ἢ ἀγενῶν ἢ κακῶν ἢ ἀγαθῶν· ἀλλὰ τὰς πράξεις ζητεῖ.

p. 525 a. καὶ πάντα σκολιά.

ἐρρυπωμένη γὰρ ψυχὴ καὶ τετραυματισμένη τοῖς πάθεσιν 6 οὐδὲν ὀρθὸν ἔχει ἀλλὰ σκολιὰ πάντα.

---

8 mg. ἀπορία 12 mg. λύσις

---

5 οἰκείᾳ] -ι supr. lin. add. M^c 17 ὅστις] ὅσ- supr. lin. add. M^c